παρουσίας διαφορά. φυτὰ μὲν γὰρ καὶ καρποὺς οὐχ ἡ ὑγρότης ἀναδίδωσιν ἀλλ' ἡ θερμὴ ὑγρότης· ἀμέλει τὰ ψυχρὰ τῶν ὑδάτων ἧττον ἢ οὐδ' ὅλως γόνιμα. καίτοι γ' εἰ τῇ αὑτοῦ φύσει τὸ ὕδωρ καρποφόρον, δεῖ πάντοτε καὶ
958 καθ' αὑτὸ ἀναφέρειν καρπούς· | τὸ δὲ τοὐναντίον καὶ βλαβερόν ἐστιν.

10. Ἀπ' ἄλλης ἀρχῆς. πρὸς μὲν τὴν πυρὸς ὡς πυρὸς χρῆσιν ὕδατος οὐ προσδεόμεθα, ἀλλὰ τοὐναντίον ἐμποδὼν γίγνεται· κατασβέννυσι γὰρ καὶ διαφθείρει. ὕδατος δὲ τοῖς πλείστοις χρῆσις οὐκ ἔστιν ἄνευ πυρός· θερμαν-
□ θὲν γὰρ ὠφέλιμον, ⟨καθ'⟩ αὑτὸ δὲ βλαβερόν. ὥστε δυεῖν ἄμεινον, ὃ ἀφ' ἑαυτοῦ παρέχεται χρείαν, τοῦ ἑτέρου μὴ προσδεόμενον. ἔτι ὕδωρ μὲν μοναχῶς ὠφέλιμον κατὰ θίξιν λουσαμένοις ἢ ἁψαμένοις, τὸ δὲ πῦρ διὰ πάσης αἰσθήσεως, καὶ γὰρ διὰ τῆς ἁφῆς καὶ πόρρωθεν ὁρώμενον· ὥστε προσεῖναι τοῖς ἄλλοις τῆς χρείας αὐτοῦ καὶ
B τὴν ποικιλίαν.

11. Τὸ γὰρ λέγειν ὡς ἔστι ποτὲ ὁ ἄνθρωπος ἄνευ πυρὸς *** οὐδ' ὅλως δύναται γενέσθαι ὁ ἄνθρωπος. διαφοραὶ δ' εἰσὶν ἐν γένει καθάπερ καὶ ἐν ἄλλοις. καὶ τὴν θάλατταν ἡ θερμότης ὠφελιμωτέραν ἐποίησεν, ὡς †καταθέρει τῶν ὑδάτων, ἐπεὶ καθ' αὑτήν γε τῶν λοιπῶν οὐδὲν διέφερε. καὶ οἱ μὴ προσδεόμενοι δὲ τοῦ ἔξωθεν



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403549779/14 UNIVERSITÄT LEIPZIG